ΟΔ. Διόμηδες, οὐκ ἤκουσας· ἢ κενὸς ψόφος
στάζει δι᾽ ὤτων; τευχέων τινὰ κτύπον;
ΔΙ. οὔκ, ἀλλὰ δεσμὰ πωλικῶν ἐξ ἀντύγων
κλάζει σιδήρου· κἀμέ τοι, πρὶν ᾐσθόμην
δεσμῶν ἀραγμὸν ἱππικῶν, ἔδυ φόβος.
ΟΔ. ὅρα κατ᾽ ὄρφνην μὴ φύλαξιν ἐντύχῃς.
ΔΙ. φυλάξομαί τοι κἀν σκότῳ τιθεὶς πόδα.
ΟΔ. ἢν δ᾽ οὖν ἐγείρῃς, οἶσθα σύνθημα στρατοῦ;
ΔΙ. Φοῖβον Δόλωνος οἶδα σύμβολον κλύων.
ΟΔ. ἔα·
εὐνὰς ἐρήμους τάσδε πολεμίων ὁρῶ.
ΔΙ. καὶ μὴν Δόλων γε τάσδ᾽ ἔφραζεν Ἕκτορος
κοίτας, ἐφ᾽ ᾧπερ ἔγχος εἴλκυσται τόδε.
ΟΔ. τί δῆτ᾽ ἂν εἴη; μῶν λόχος βέβηκέ ποι;
ΔΙ. ἴσως ἐφ᾽ ἡμῖν μηχανὴν στήσων τινά.
ΟΔ. θρασὺς γὰρ Ἕκτωρ νῦν, ἐπεὶ κρατεῖ, θρασύς.
ΔΙ. τί δῆτ᾽, Ὀδυσσεῦ, δρῶμεν; οὐ γὰρ εὕρομεν
τὸν ἄνδρ᾽ ἐν εὐναῖς, ἐλπίδων δ᾽ ἡμάρτομεν.
ΟΔ. στείχωμεν ὡς τάχιστα ναυστάθμων πέλας.
σῴζει γὰρ αὐτὸν ὅστις εὐτυχῆ θεῶν
τίθησιν· ἡμῖν δ᾽ οὐ βιαστέον τύχην.
ΔΙ. οὐκοῦν ἐπ᾽ Αἰνέαν ἢ τὸν ἔχθιστον Φρυγῶν
Πάριν μολόντε χρὴ καρατομεῖν ξίφει.
ΟΔ. πῶς οὖν ἐν ὄρφνῃ πολεμίων ἀνὰ στρατὸν
ζητῶν δυνήσει τούσδ᾽ ἀκινδύνως κτανεῖν;
ΔΙ. αἰσχρόν γε μέντοι ναῦς ἐπ᾽ Ἀργείων μολεῖν,
δράσαντε μηδὲν πολεμίους νεώτερον.
ΟΔ. πῶς δ᾽ οὐ δέδρακας; οὐ κτανόντε ναυστάθμων
κατάσκοπον Δόλωνα σῴζομεν τάδε
σκυλεύματ᾽; ἢ πᾶν στρατόπεδον πέρσειν δοκεῖς;
πείθου, πάλιν στείχωμεν· εὖ δ᾽ εἴη τυχεῖν.
ΑΘ. ποῖ δὴ λιπόντες Τρωικῶν ἐκ τάξεων
χωρεῖτε, λύπῃ καρδίαν δεδηγμένοι,

570. *ὄρφναν ABC* 582. *ναυστάθμου ABC* 583. *ὅσπερ ABC* 586. *μολόντε*] Canterus, *μολόντες* libri. *χρῆν ABC* 594. *τύχ..* B² *τύχῃ* C